νόθου παιδὸς ἔκυρσεν.
ΘΕ. κλεινήν, γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῇ γὰρ ἄστεως
ζητῶν νιν ἐξέπλησα κοὐκ ἔχω λαβεῖν.
ΧΟ. τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε, καὶ λόγους τίνας φέρεις;
ΘΕ. θηρώμεθ'· ἀρχαὶ δ' ἁπιχώριοι χθονὸς
ζητοῦσιν αὐτήν, ὡς θάνῃ πετρουμένη.
ΧΟ. οἴμοι, τί λέξεις; οὔτι που λελήμμεθα
κρυφαῖον εἰς παῖδ' ἐκπορίζουσαι φόνον;
ΘΕ. ἔγνως· μεθέξεις δ' οὐκ ἐν ὑστάτοις κακοῦ.
ΧΟ. ὤφθη δὲ πῶς τὰ κρυπτὰ μηχανήματα;
ΘΕ. τὸ μὴ δίκαιον τῆς δίκης ἡσσώμενον
ἐξεῦρεν ὁ θεός, οὐ μιανθῆναι θέλων.
ΧΟ. πῶς; ἀντιάζω σ' ἱκέτις ἐξειπεῖν τάδε.
πεπυσμέναι γὰρ εἰ θανεῖν ἡμᾶς χρεών,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάος.
ΘΕ. ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης, παῖδα τὸν καινὸν λαβὼν
πρὸς δεῖπνα θυσίας θ' ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ' ἔνθα πῦρ πηδᾷ θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ' ὀπτηρίων,
λέξας· σὺ μὲν νῦν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασιν.
θύσας δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μένω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους ᾤχεθ'· ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ' ἡλίου φλόγα

---

1105. νόθων παίδων B νόθων παίδων C (ου, ος superscr.) 1106. κλεινήν] Reiskius, κλειναί libri. 1111. ἁπιχώριοι] Scaliger, αἵδ' ἐπιχώριοι libri. 1115. ἔγνως μεθέξεις (δ' add. Hermannus) οὐκ ἐν ὑστάτοις κακοῦ] Porsonus, ἐγνώσμεθ' ἐξ ἴσου κἐν (κἀν C) ὑστάτοις κακοῖς libri. 1116. ὤφθη] Stephanus, ἔφθη libri. 1120. ἡμᾶς] Stephanus, ὑμᾶς libri. 1134. φλόγα] Bothius, φλογός libri.